eul_wid: ras-aa

*Ἀδριανὸς ὁ Τύριος* · Hadrian of Tyre the Sophist

# Declamation

*Μελέτη*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Ἀττικίζουσα* Atticizing
**Domain:** *Ῥητορική* Oratory
**Format:** *Λόγος* Oration

44 (4t) Ἁλοῦσά τις φαρμακείας οὐχ οἵα τε ἦν καυθῆναι· ὑπέσχετό τις γυνὴ καύσειν αὐτὴν καὶ ἔκαυσεν. ἀξιοῖ Ἀδριανὸς ὁ ῥήτωρ καὶ ταύτην καῆναι. Πρὸς μὲν τὸ λέγειν ὡς οὐ τὰς κεκτημένας τὴν τέχνην ὁ νόμος ἀλλὰ τὰς ἐπὶ κακῷ χρησαμένας ἀπαιτεῖ τιμωρίαν, εὐχερὲς ἀπ' αὐτοῦ ποιήσασθαι τοῦ νόμου τὴν διδασκαλίαν· ὁ γὰρ οὐ τὴν φαρμακεύσασαν εἰπὼν ἀλλὰ τὴν φαρμακίδα καὶ τῇ προσηγορίᾳ τῆς τέχνης τὴν τιμωρίαν ὑποθείς, δῆλός ἐστι μισῶν τὸ δρᾶσαι δύνασθαι. καὶ γὰρ ὅσα μὲν τῶν ἀδικημάτων τόλμης ἔχεται μόνης, ἐκ τοῦ πραχθῆναι διελέγχεται, ὅσα δ' ἐστὶ τέχνης καθάπερ φαρμακεία, ταῦτα καὶ πρὸ τῆς πράξεως ἀπὸ τῆς γνώμης διαβάλλεται. καὶ γὰρ τοὺς τέχνας ἀφ' ὧν ἐστι τὸ δύνασθαι βλάψαι προσλαβεῖν μανθάνοντας ἀπ' αὐτῆς ὑποπτεύειν ἀνάγκη τῆς ἐπιθυμίας. οὐ γὰρ χρὴ τὸ παθεῖν ἀναμείναντας οὕτως ἀμύνασθαι ζητεῖν τοὺς ἐξ ὧν ἔπαθον δρᾶσαι δυνηθέντας ἀλλὰ πρίν τι παθεῖν ὑποπτεύειν τὸ δρᾶσαι δύνασθαι. τί τοίνυν; ὁ φαρμακεύς ἐστι λῃστὴς ὡμολογημένος προτείνων τέχνην ἀδικημάτων, ἄσκησις ἐπιβουλῆς, παρανομίας ἐπάγγελμα, ἰσχὺς ἀσεβημάτων.

45 ἐπεὶ καὶ τῶν θηρίων τουτωνὶ τῶν ὁμοτέχνων ὑμῖν, ὦ γύναι, τὰ πολλὰ κολάζομεν οὐδὲν ὑπ' αὐτῶν προαδικηθέντες ἀλλὰ τὴν δύναμιν αὐτῶν μεμισηκότες, ὅτι κἀκείνων τι ἕκαστον ἔχει φάρμακον ἐν τῇ φύσει. καὶ γὰρ εἰ τῷ δυνηθῆναι λαθεῖν οὐ πεφώρασαι περὶ ὧν ἔδρασας, ἀλλ' ὅτι δύνασαι δρᾶσαι πεφωραμένη δώσεις ὡς δράσασα δίκην, εἰ καὶ μέχρι νῦν δεδύνησαι λαθεῖν. καὶ τί δεῖ λέγειν περὶ σοῦ; εἰ μὲν γὰρ ἐμίσεις τὴν τέχνην, οὐκ ἂν ἐμάνθανες· εἰ δὲ ἔχεις τὴν ἐπιστήμην, ἐφθόνεις, οὐκ ἐμίσεις· κολάζει γάρ τις ὃ φεύγει, ζηλοτυπεῖ δὲ ὃ μετ' ἄλλων ἔχει. καὶ γὰρ λῃστὴς ἤδη λῃστὴν ἀπέκτεινεν ὑπὲρ σκύλων ὠργισμένος καὶ τύραννον καθεῖλέ τις μοναρχεῖν ἐθέλων. τοιοῦτόν τι γεγένηται καὶ τὸ νῦν ὑπὸ σοῦ τετολμημένον· μοναρχίαν φαρμακείας οἴει σεαυτῇ διαπεπρᾶχθαι τὴν κοινωνοῦσαν τῆς τέχνης μετακεχειρισμένη.